UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Hieraci clarisimo. 275.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ſtudioſus eſt, vt ſeruorum gregibus circũſeptus, ipſe famulornm munera vnà cum vxore exequi velit? Quiſnam tanta fide præditus eſt, vt Palæſtinam vniuerſam in pollicitatione complexus, ſi ſepulchrum emendum haberet, vt ille, non ambiguo, atque ancipiti animo eſſet, ſecúmqne hæſitaret? Quiſnam vſque adeò pecuniarum cupiditatem fregit, vt barbarica ſpolia, & Perſicam prædam contemnat, ac pro nihilo putet? Verùm neſcio quonam pacto eo proceſſi, vt virum illum contumelia afficerem, dum eum cum eiuſmodi viris comparo: ſed nihil moleſti atque acerbi dicere volo. Illud vnum dicam, ac poſteà finem faciam: Si & eorum virtutes & defectus habentes, poſteà cùm ob defectus accuſarentur, illos in medium proferrent, & ſi ne ſic quidem iuſtam excuſationem haberẽt (neque enim idem eſt, ante Legem, & in Lege, & poſt Legem, & Gratiam munus vitæ obire) tamen aliquam fortaſſe excuſationis vmbram haberent. Cùm autem virtutibus quidem vacui, vitiis autem obnoxij atque conſtricti, omiſſis illorum virtutibus, defectus duntaxat proferant, omni prorſus condemnatione digni ſunt.

Hieraci clariſſimo. 275.

Vita ſine ſermone magis prodeſſe ſolet, quàm ſermo ſine vita. Nam illa etiam tacens ptodeſt: hic autem etiam clamans moleſtiam affert. At ſi & ſermo & vita in vnum occurrant, omnis philoſophiæ ſimulachrum efficiunt.

Hermogeni Epiſcopo. 276.

Quòd Martinianus, & Zozimus ac Maro, digni, vt abs te dictum eſt, Euſebio diſcipuli, & cum apud omnes, & omnes apud eũ criminẽtur, perſpicuum eſt. Quòd autẽ vis illa ſcelerum vltrix nec illum nec iſtos ſemper toleratura, verùm dignas iis quæ perpetrarũt atque non perpetrant pœnas ab ipſis experitura ſit, id quoque liquet.

τῆς φύσεως τρόπαιον; τίς οὕτω φιλόξενος, ὃς πολλοῖς κεκυκλωμένος οἰκέταις, αὐτὸς τὰ τῶν οἰκετῶν μετὰ τῆς ὁμοζύγου διαπράξασθαι θελήσειε. τίς οὕτω πιστὸς, ὃς ἐν ἐπαγγελίαις τὴν Παλαιστίνην πᾶσαν συλλαβὼν, εἰ τάφον ἀγοράσειεν, ὥσπερ ἐκεῖνος, οὐκ ἂν διακριθείη; τίς οὕτω χρημάτων κρείττων, ὡς βαρβαρικῶν σκύλων, καὶ περσικῶν λαφύρων καταφρονῆσαι. ἀλλὰ γὰρ οὐκ οἶδ' ὅπως παρήχθην ὑβρίσαι τὸν ἄνδρα, ἀνδράσιν αὐτὸν παραβάλλων. ἀλλ' οὐδὲν βούλομαι δυσχερὲς εἰπεῖν. ἐκεῖνο δὲ μόνον φράσας, καταπαύσω, ὅτι εἰ μὲν καὶ τὰ πλεονεκτήματα αὐτῶν ἔχοντες, καὶ τὰ ἐλαττώματα. εἶτ' ἐγκαλούμενοι ἐπὶ τοῖς ἐλαττώμασιν ἐκείνους προέφερον, μάλιστα μὲν οὐδ' οὕτως δικαίαν εἶχον ἀπολογίαν. οὐ γὰρ ταυτὸν τὸ πρὸ νόμου, καὶ μετὰ νόμου, καὶ μετὰ νόμον, καὶ χάριν πολιτεύεσθαι, πλὴν ἀλλὰ τάχα ἂν, εἶχον σκιὰν ἀπολογίας. εἰ δὲ κατορθωμάτων μὲν χηρεύοντες, ἐλαττώμασι δὲ ἐνεχόμενοι, τὰ πλεονεκτήματα ἐκείνων ἀφέμενοι, τὰ ἐλαττώματα προφέροιεν, πάσης εἰσὶ καταγνώσεως ἄξιοι.

Ἱέρακι λαμπροτάτῳ. σοε.

Βίος ἄνευ λόγου μᾶλλον ὠφελεῖν πέφυκεν, ἢ λόγος ἄνευ βίου. ὁ μὲν γὰρ καὶ σιγῶν ὠφελεῖ· ὁ δὲ καὶ βοῶν ἐνοχλεῖ. εἰ δὲ καὶ λόγος καὶ βίος συνδράμοιεν, φιφιλοσοφίας ἁπάσης ἀποτελοῦσιν ἄγαλμα.

Ἑρμογένει ἐπισκόπῳ. σος.

Ὅτι μὲν Μαρτινιανός τε καὶ Ζώσιμος καὶ Μάρων, οἱ ἄξιοι Εὐσεβίου, ὡς ἔφης, φοιτηταὶ διαβάλλουσιν αὐτόν τε πᾶσιν, αὐτῷ τε πάντας, δῆλόν ἐστιν. ὅτι δὲ οὐκ εἰς τέλος ἡ δίκη ἀνάσχοιτο οὔτ' ἐκεῖνον, οὔτε τούτους, ἀλλὰ δίκην αὐτοὺς εἰσπράξεται, ἀξίας ὧν ἔδρασάν τε καὶ δρῶσι, καὶ τοῦτο δῆλον. οὐδεὶς

γὰρ